# GREEK NEW TESTAMENT
# GALATIAN

1:1 παυλοσ αποστολοσ ουκ απ ανθρωπων ουδε δι ανθρωπου αλλα δια ιησ
ου χριστου και θεου πατροσ του εγειραντοσ αυτον εκ νεκρων

1:2 και οι συν εμοι παντεσ αδελφοι ταισ εκκλησιαισ τησ γαλατιασ

1:3 χαρισ υμιν και ειρηνη απο θεου πατροσ ημων και κυριου ιησου χριστ
ου

1:4 του δοντοσ εαυτον υπερ των αμαρτιων ημων οπωσ εξεληται ημασ εκ τ
ου αιωνοσ του ενεστωτοσ πονηρου κατα το θελημα του θεου και πατροσ
ημων

1:5 ω η δοξα εισ τουσ αιωνασ των αιωνων αμην

1:6 θαυμαζω οτι ουτωσ ταχεωσ μετατιθεσθε απο του καλεσαντοσ υμασ ε
ν χαριτι | χριστου | [χριστου] | εισ ετερον ευαγγελιον

1:7 ο ουκ εστιν αλλο ει μη τινεσ εισιν οι ταρασσοντεσ υμασ και θελοντεσ
μεταστρεψαι το ευαγγελιον του χριστου

1:8 αλλα και εαν ημεισ η αγγελοσ εξ ουρανου | ευαγγελισηται | ευαγγελιζ
ηται | [υμιν] παρ ο ευηγγελισαμεθα υμιν αναθεμα εστω

1:9 ωσ προειρηκαμεν και αρτι παλιν λεγω ει τισ υμασ ευαγγελιζεται παρ ο
παρελαβετε αναθεμα εστω

1:10 αρτι γαρ ανθρωπουσ πειθω η τον θεον η ζητω ανθρωποισ αρεσκειν ει
ετι ανθρωποισ ηρεσκον χριστου δουλοσ ουκ αν ημην

1:11 γνωριζω γαρ υμιν αδελφοι το ευαγγελιον το ευαγγελισθεν υπ εμου οτι
ουκ εστιν κατα ανθρωπον

1:12 ουδε γαρ εγω παρα ανθρωπου παρελαβον αυτο ουτε εδιδαχθην αλλα
δι αποκαλυψεωσ ιησου χριστου

1:13 ηκουσατε γαρ την εμην αναστροφην ποτε εν τω ιουδαισμω οτι καθ υ
περβολην εδιωκον την εκκλησιαν του θεου και επορθουν αυτην

1:14 και προεκοπτον εν τω ιουδαισμω υπερ πολλουσ συνηλικιωτασ εν τω γενει μου περισσοτερωσ ζηλωτησ υπαρχων των πατρικων μου παραδοσε ων

1:15 οτε δε ευδοκησεν [ο θεοσ] ο αφορισασ με εκ κοιλιασ μητροσ μου και καλεσασ δια τησ χαριτοσ αυτου

1:16 αποκαλυψαι τον υιον αυτου εν εμοι ινα ευαγγελιζωμαι αυτον εν τοισ εθνεσιν ευθεωσ ου προσανεθεμην σαρκι και αιματι

1:17 ουδε ανηλθον εισ ιεροσολυμα προσ τουσ προ εμου αποστολουσ αλλ α απηλθον εισ αραβιαν και παλιν υπεστρεψα εισ δαμασκον

1:18 επειτα μετα | τρια ετη | ετη τρια | ανηλθον εισ ιεροσολυμα ιστορησαι κηφαν και επεμεινα προσ αυτον ημερασ δεκαπεντε

1:19 ετερον δε των αποστολων ουκ ειδον ει μη ιακωβον τον αδελφον του κ υριου

1:20 α δε γραφω υμιν ιδου ενωπιον του θεου οτι ου ψευδομαι

1:21 επειτα ηλθον εισ τα κλιματα τησ συριασ και | [τησ] | τησ | κιλικιασ

1:22 ημην δε αγνοουμενοσ τω προσωπω ταισ εκκλησιαισ τησ ιουδαιασ τα ισ εν χριστω

1:23 μονον δε ακουοντεσ ησαν οτι ο διωκων ημασ ποτε νυν ευαγγελιζεται την πιστιν ην ποτε επορθει

1:24 και εδοξαζον εν εμοι τον θεον

2:1 επειτα δια δεκατεσσαρων ετων παλιν ανεβην εισ ιεροσολυμα μετα βα ρναβα συμπαραλαβων και τιτον

2:2 ανεβην δε κατα αποκαλυψιν και ανεθεμην αυτοισ το ευαγγελιον ο κη ρυσσω εν τοισ εθνεσιν κατ ιδιαν δε τοισ δοκουσιν μη πωσ εισ κενον τρεχ ω η εδραμον

2:3 αλλ ουδε τιτοσ ο συν εμοι ελλην ων ηναγκασθη περιτμηθηναι

2:4 δια δε τουσ παρεισακτουσ ψευδαδελφουσ οιτινεσ παρεισηλθον κατασ κοπησαι την ελευθεριαν ημων ην εχομεν εν χριστω ιησου ινα ημασ κατα δουλωσουσιν

2:5 οισ ουδε προσ ωραν ειξαμεν τη υποταγη ινα η αληθεια του ευαγγελιο
υ διαμεινη προσ υμασ

2:6 απο δε των δοκουντων ειναι τι οποιοι ποτε ησαν ουδεν μοι διαφερει πρ
οσωπον [ο] θεοσ ανθρωπου ου λαμβανει εμοι γαρ οι δοκουντεσ ουδεν προ
σανεθεντο

2:7 αλλα τουναντιον ιδοντεσ οτι πεπιστευμαι το ευαγγελιον τησ ακροβυσ
τιασ καθωσ πετροσ τησ περιτομησ

2:8 ο γαρ ενεργησασ πετρω εισ αποστολην τησ περιτομησ ενηργησεν και ε
μοι εισ τα εθνη

2:9 και γνοντεσ την χαριν την δοθεισαν μοι ιακωβοσ και κηφασ και ιωαν
νησ οι δοκουντεσ στυλοι ειναι δεξιασ εδωκαν εμοι και βαρναβα κοινωνι
ασ ινα ημεισ εισ τα εθνη αυτοι δε εισ την περιτομην

2:10 μονον των πτωχων ινα μνημονευωμεν ο και εσπουδασα αυτο τουτο π
οιησαι

2:11 οτε δε ηλθεν κηφασ εισ αντιοχειαν κατα προσωπον αυτω αντεστην ο
τι κατεγνωσμενοσ ην

2:12 προ του γαρ ελθειν τινασ απο ιακωβου μετα των εθνων συνησθιεν οτ
ε δε ηλθον υπεστελλεν και αφωριζεν εαυτον φοβουμενοσ τουσ εκ περιτομ
ησ

2:13 και συνυπεκριθησαν αυτω [και] οι λοιποι ιουδαιοι ωστε και βαρναβ
ασ συναπηχθη αυτων τη υποκρισει

2:14 αλλ οτε ειδον οτι ουκ ορθοποδουσιν προσ την αληθειαν του ευαγγελι
ου ειπον τω κηφα εμπροσθεν παντων ει συ ιουδαιοσ υπαρχων εθνικωσ κα
ι | ουκ | ουχι | ιουδαικωσ ζησ πωσ τα εθνη αναγκαζεισ ιουδαιζειν

2:15 ημεισ φυσει ιουδαιοι και ουκ εξ εθνων αμαρτωλοι

2:16 ειδοτεσ | δε | [δε] | οτι ου δικαιουται ανθρωποσ εξ εργων νομου εαν μ
η δια πιστεωσ | χριστου ιησου | ιησου χριστου | και ημεισ εισ χριστον ιησ
ουν επιστευσαμεν ινα δικαιωθωμεν εκ πιστεωσ χριστου και ουκ εξ εργων
νομου οτι εξ εργων νομου ου δικαιωθησεται πασα σαρξ

2:17 ει δε ζητουντεσ δικαιωθηναι εν χριστω ευρεθημεν και αυτοι αμαρτω
λοι αρα χριστοσ αμαρτιασ διακονοσ μη γενοιτο

2:18 ει γαρ α κατελυσα ταυτα παλιν οικοδομω παραβατην εμαυτον συνισ
τανω

2:19 εγω γαρ δια νομου νομω απεθανον ινα θεω ζησω

2:20 χριστω συνεσταυρωμαι ζω δε ουκετι εγω ζη δε εν εμοι χριστοσ ο δε ν
υν ζω εν σαρκι εν πιστει ζω τη του υιου του θεου του αγαπησαντοσ με κα
ι παραδοντοσ εαυτον υπερ εμου

2:21 ουκ αθετω την χαριν του θεου ει γαρ δια νομου δικαιοσυνη αρα χρισ
τοσ δωρεαν απεθανεν

3:1 ω ανοητοι γαλαται τισ υμασ εβασκανεν οισ κατ οφθαλμουσ ιησουσ χ
ριστοσ προεγραφη εσταυρωμενοσ

3:2 τουτο μονον θελω μαθειν αφ υμων εξ εργων νομου το πνευμα ελαβετε
η εξ ακοησ πιστεωσ

3:3 ουτωσ ανοητοι εστε εναρξαμενοι πνευματι νυν σαρκι επιτελεισθε

3:4 τοσαυτα επαθετε εικη ει γε και εικη

3:5 ο ουν επιχορηγων υμιν το πνευμα και ενεργων δυναμεισ εν υμιν εξ εργ
ων νομου η εξ ακοησ πιστεωσ

3:6 καθωσ αβρααμ επιστευσεν τω θεω και ελογισθη αυτω εισ δικαιοσυνη
ν

3:7 γινωσκετε αρα οτι οι εκ πιστεωσ ουτοι υιοι εισιν αβρααμ

3:8 προιδουσα δε η γραφη οτι εκ πιστεωσ δικαιοι τα εθνη ο θεοσ προευηγγ
ελισατο τω αβρααμ οτι ενευλογηθησονται εν σοι παντα τα εθνη

3:9 ωστε οι εκ πιστεωσ ευλογουνται συν τω πιστω αβρααμ

3:10 οσοι γαρ εξ εργων νομου εισιν υπο καταραν εισιν γεγραπται γαρ οτι ε
πικαταρατοσ πασ οσ ουκ εμμενει πασιν τοισ γεγραμμενοισ εν τω βιβλιω τ
ου νομου του ποιησαι αυτα

3:11 οτι δε εν νομω ουδεισ δικαιουται παρα τω θεω δηλον οτι ο δικαιοσ εκ πιστεωσ ζησεται

3:12 ο δε νομοσ ουκ εστιν εκ πιστεωσ αλλ ο ποιησασ αυτα ζησεται εν αυτ οισ

3:13 χριστοσ ημασ εξηγορασεν εκ τησ καταρασ του νομου γενομενοσ υπε ρ ημων καταρα οτι γεγραπται επικαταρατοσ πασ ο κρεμαμενοσ επι ξυλου

3:14 ινα εισ τα εθνη η ευλογια του αβρααμ γενηται εν | ιησου χριστω | χρι στω ιησου | ινα την επαγγελιαν του πνευματοσ λαβωμεν δια τησ πιστεωσ

3:15 αδελφοι κατα ανθρωπον λεγω ομωσ ανθρωπου κεκυρωμενην διαθηκη ν ουδεισ αθετει η επιδιατασσεται

3:16 τω δε αβρααμ ερρεθησαν αι επαγγελιαι και τω σπερματι αυτου ου λε γει και τοισ σπερμασιν ωσ επι πολλων αλλ ωσ εφ ενοσ και τω σπερματι σο υ οσ εστιν χριστοσ

3:17 τουτο δε λεγω διαθηκην προκεκυρωμενην υπο του θεου ο μετα τετρα κοσια και τριακοντα ετη γεγονωσ νομοσ ουκ ακυροι εισ το καταργησαι τ ην επαγγελιαν

3:18 ει γαρ εκ νομου η κληρονομια ουκετι εξ επαγγελιασ τω δε αβρααμ δι επαγγελιασ κεχαρισται ο θεοσ

3:19 τι ουν ο νομοσ των παραβασεων χαριν προσετεθη αχρισ | αν | ου | ελ θη το σπερμα ω επηγγελται διαταγεισ δι αγγελων εν χειρι μεσιτου

3:20 ο δε μεσιτησ ενοσ ουκ εστιν ο δε θεοσ εισ εστιν

3:21 ο ουν νομοσ κατα των επαγγελιων [του θεου] μη γενοιτο ει γαρ εδοθη νομοσ ο δυναμενοσ ζωοποιησαι οντωσ | εν νομω | εκ νομου | αν ην η δικα ιοσυνη

3:22 αλλα συνεκλεισεν η γραφη τα παντα υπο αμαρτιαν ινα η επαγγελια ε κ πιστεωσ ιησου χριστου δοθη τοισ πιστευουσιν

3:23 προ του δε ελθειν την πιστιν υπο νομον εφρουρουμεθα συγκλειομενοι εισ την μελλουσαν πιστιν αποκαλυφθηναι

3:24 ωστε ο νομοσ παιδαγωγοσ ημων γεγονεν εισ χριστον ινα εκ πιστεωσ δ
ικαιωθωμεν

3:25 ελθουσησ δε τησ πιστεωσ ουκετι υπο παιδαγωγον εσμεν

3:26 παντεσ γαρ υιοι θεου εστε δια τησ πιστεωσ εν χριστω ιησου

3:27 οσοι γαρ εισ χριστον εβαπτισθητε χριστον ενεδυσασθε

3:28 ουκ ενι ιουδαιοσ ουδε ελλην ουκ ενι δουλοσ ουδε ελευθεροσ ουκ ενι
αρσεν και θηλυ παντεσ γαρ υμεισ εισ εστε εν χριστω ιησου

3:29 ει δε υμεισ χριστου αρα του αβρααμ σπερμα εστε κατ επαγγελιαν κλ
ηρονομοι

4:1 λεγω δε εφ οσον χρονον ο κληρονομοσ νηπιοσ εστιν ουδεν διαφερει δο
υλου κυριοσ παντων ων

4:2 αλλα υπο επιτροπουσ εστιν και οικονομουσ αχρι τησ προθεσμιασ του
πατροσ

4:3 ουτωσ και ημεισ οτε ημεν νηπιοι υπο τα στοιχεια του κοσμου ημεθα δ
εδουλωμενοι

4:4 οτε δε ηλθεν το πληρωμα του χρονου εξαπεστειλεν ο θεοσ τον υιον αυ
του γενομενον εκ γυναικοσ γενομενον υπο νομον

4:5 ινα τουσ υπο νομον εξαγοραση ινα την υιοθεσιαν απολαβωμεν

4:6 οτι δε εστε υιοι εξαπεστειλεν ο θεοσ το πνευμα του υιου αυτου εισ τα
σ καρδιασ ημων κραζον αββα ο πατηρ

4:7 ωστε ουκετι ει δουλοσ αλλα υιοσ ει δε υιοσ και κληρονομοσ δια θεου

4:8 αλλα τοτε μεν ουκ ειδοτεσ θεον εδουλευσατε τοισ φυσει μη ουσιν θεοι
σ

4:9 νυν δε γνοντεσ θεον μαλλον δε γνωσθεντεσ υπο θεου πωσ επιστρεφετε
παλιν επι τα ασθενη και πτωχα στοιχεια οισ παλιν ανωθεν | δουλευσαι | δ
ουλευειν | θελετε

4:10 ημερασ παρατηρεισθε και μηνασ και καιρουσ και ενιαυτουσ

4:11 φοβουμαι υμασ μη πωσ εικη κεκοπιακα εισ υμασ

4:12 γινεσθε ωσ εγω οτι καγω ωσ υμεισ αδελφοι δεομαι υμων ουδεν με ηδι
κησατε

4:13 οιδατε δε οτι δι ασθενειαν τησ σαρκοσ ευηγγελισαμην υμιν το προτε
ρον

4:14 και τον πειρασμον υμων εν τη σαρκι μου ουκ εξουθενησατε ουδε εξε
πτυσατε αλλα ωσ αγγελον θεου εδεξασθε με ωσ χριστον ιησουν

4:15 που ουν ο μακαρισμοσ υμων μαρτυρω γαρ υμιν οτι ει δυνατον τουσ
οφθαλμουσ υμων εξορυξαντεσ εδωκατε μοι

4:16 ωστε εχθροσ υμων γεγονα αληθευων υμιν

4:17 ζηλουσιν υμασ ου καλωσ αλλα εκκλεισαι υμασ θελουσιν ινα αυτου
σ ζηλουτε

4:18 καλον δε ζηλουσθαι εν καλω παντοτε και μη μονον εν τω παρειναι μ
ε προσ υμασ

4:19 | τεκνια | τεκνα | μου ουσ παλιν ωδινω μεχρισ ου μορφωθη χριστοσ εν
υμιν

4:20 ηθελον δε παρειναι προσ υμασ αρτι και αλλαξαι την φωνην μου οτι
απορουμαι εν υμιν

4:21 λεγετε μοι οι υπο νομον θελοντεσ ειναι τον νομον ουκ ακουετε

4:22 γεγραπται γαρ οτι αβρααμ δυο υιουσ εσχεν ενα εκ τησ παιδισκησ και
ενα εκ τησ ελευθερασ

4:23 αλλ ο | [μεν] | μεν | εκ τησ παιδισκησ κατα σαρκα γεγεννηται ο δε εκ τ
ησ ελευθερασ δι επαγγελιασ

4:24 ατινα εστιν αλληγορουμενα αυται γαρ εισιν δυο διαθηκαι μια μεν απ
ο ορουσ σινα εισ δουλειαν γεννωσα ητισ εστιν αγαρ

4:25 το δε αγαρ σινα οροσ εστιν εν τη αραβια συστοιχει δε τη νυν ιερουσ
αλημ δουλευει γαρ μετα των τεκνων αυτησ

4:26 η δε ανω ιερουσαλημ ελευθερα εστιν ητισ εστιν μητηρ ημων

4:27 γεγραπται γαρ ευφρανθητι στειρα η ου τικτουσα ρηξον και βοησον η ουκ ωδινουσα οτι πολλα τα τεκνα τησ ερημου μαλλον η τησ εχουσησ τον ανδρα

4:28 | ημεισ | υμεισ | δε αδελφοι κατα ισαακ επαγγελιασ τεκνα | εσμεν | εστε |

4:29 αλλ ωσπερ τοτε ο κατα σαρκα γεννηθεισ εδιωκεν τον κατα πνευμα ουτωσ και νυν

4:30 αλλα τι λεγει η γραφη εκβαλε την παιδισκην και τον υιον αυτησ ου γαρ μη κληρονομησει ο υιοσ τησ παιδισκησ μετα του υιου τησ ελευθερασ

4:31 διο αδελφοι ουκ εσμεν παιδισκησ τεκνα αλλα τησ ελευθερασ

5:1 τη ελευθερια ημασ χριστοσ ηλευθερωσεν στηκετε ουν και μη παλιν ζυγω δουλειασ ενεχεσθε

5:2 ιδε εγω παυλοσ λεγω υμιν οτι εαν περιτεμνησθε χριστοσ υμασ ουδεν ωφελησει

5:3 μαρτυρομαι δε παλιν παντι ανθρωπω περιτεμνομενω οτι οφειλετησ εστιν ολον τον νομον ποιησαι

5:4 κατηργηθητε απο χριστου οιτινεσ εν νομω δικαιουσθε τησ χαριτοσ εξεπεσατε

5:5 ημεισ γαρ πνευματι εκ πιστεωσ ελπιδα δικαιοσυνησ απεκδεχομεθα

5:6 εν γαρ χριστω | [ιησου] | ιησου | ουτε περιτομη τι ισχυει ουτε ακροβυστια αλλα πιστισ δι αγαπησ ενεργουμενη

5:7 ετρεχετε καλωσ τισ υμασ ενεκοψεν | | [τη] | αληθεια μη πειθεσθαι

5:8 η πεισμονη ουκ εκ του καλουντοσ υμασ

5:9 μικρα ζυμη ολον το φυραμα ζυμοι

5:10 εγω πεποιθα εισ υμασ εν κυριω οτι ουδεν αλλο φρονησετε ο δε ταρασσων υμασ βαστασει το κριμα οστισ εαν η

5:11 εγω δε αδελφοι ει περιτομην ετι κηρυσσω τι ετι διωκομαι αρα κατηργηται το σκανδαλον του σταυρου

5:12 οφελον και αποκοψονται οι αναστατουντεσ υμασ

5:13 υμεισ γαρ επ ελευθερια εκληθητε αδελφοι μονον μη την ελευθεριαν ε
ισ αφορμην τη σαρκι αλλα δια τησ αγαπησ δουλευετε αλληλοισ

5:14 ο γαρ πασ νομοσ εν ενι λογω πεπληρωται εν τω αγαπησεισ τον πλησι
ον σου ωσ σεαυτον

5:15 ει δε αλληλουσ δακνετε και κατεσθιετε βλεπετε μη υπ αλληλων αναλ
ωθητε

5:16 λεγω δε πνευματι περιπατειτε και επιθυμιαν σαρκοσ ου μη τελεσητε

5:17 η γαρ σαρξ επιθυμει κατα του πνευματοσ το δε πνευμα κατα τησ σαρ
κοσ ταυτα γαρ αλληλοισ αντικειται ινα μη α εαν θελητε ταυτα ποιητε

5:18 ει δε πνευματι αγεσθε ουκ εστε υπο νομον

5:19 φανερα δε εστιν τα εργα τησ σαρκοσ ατινα εστιν πορνεια ακαθαρσια
ασελγεια

5:20 ειδωλολατρια φαρμακεια εχθραι ερισ ζηλοσ θυμοι εριθειαι διχοστασ
ιαι αιρεσεισ

5:21 φθονοι μεθαι κωμοι και τα ομοια τουτοισ α προλεγω υμιν καθωσ προ
ειπον οτι οι τα τοιαυτα πρασσοντεσ βασιλειαν θεου ου κληρονομησουσι
ν

5:22 ο δε καρποσ του πνευματοσ εστιν αγαπη χαρα ειρηνη μακροθυμια χ
ρηστοτησ αγαθωσυνη πιστισ

5:23 πραυτησ εγκρατεια κατα των τοιουτων ουκ εστιν νομοσ

5:24 οι δε του χριστου | ιησου | [ιησου] | την σαρκα εσταυρωσαν συν τοισ
παθημασιν και ταισ επιθυμιαισ

5:25 ει ζωμεν πνευματι πνευματι και στοιχωμεν

5:26 μη γινωμεθα κενοδοξοι αλληλουσ προκαλουμενοι αλληλοισ φθονου
ντεσ

6:1 αδελφοι εαν και προλημφθη ανθρωποσ εν τινι παραπτωματι υμεισ οι π
νευματικοι καταρτιζετε τον τοιουτον εν πνευματι πραυτητοσ σκοπων σεα
υτον μη και συ πειρασθησ

6:2 αλληλων τα βαρη βασταζετε και ουτωσ | αναπληρωσατε | αναπληρωσ
ετε | τον νομον του χριστου

6:3 ει γαρ δοκει τισ ειναι τι μηδεν ων φρεναπατα εαυτον

6:4 το δε εργον εαυτου δοκιμαζετω | [εκαστοσ] | εκαστοσ | και τοτε εισ εαυ
τον μονον το καυχημα εξει και ουκ εισ τον ετερον

6:5 εκαστοσ γαρ το ιδιον φορτιον βαστασει

6:6 κοινωνειτω δε ο κατηχουμενοσ τον λογον τω κατηχουντι εν πασιν αγα
θοισ

6:7 μη πλανασθε θεοσ ου μυκτηριζεται ο γαρ εαν σπειρη ανθρωποσ τουτο
και θερισει

6:8 οτι ο σπειρων εισ την σαρκα εαυτου εκ τησ σαρκοσ θερισει φθοραν ο
δε σπειρων εισ το πνευμα εκ του πνευματοσ θερισει ζωην αιωνιον

6:9 το δε καλον ποιουντεσ μη εγκακωμεν καιρω γαρ ιδιω θερισομεν μη εκ
λυομενοι

6:10 αρα ουν ωσ καιρον | εχωμεν | εχομεν | εργαζωμεθα το αγαθον προσ π
αντασ μαλιστα δε προσ τουσ οικειουσ τησ πιστεωσ

6:11 ιδετε πηλικοισ υμιν γραμμασιν εγραψα τη εμη χειρι

6:12 οσοι θελουσιν ευπροσωπησαι εν σαρκι ουτοι αναγκαζουσιν υμασ πε
ριτεμνεσθαι μονον ινα τω σταυρω του χριστου | [ιησου] | | μη διωκωνται

6:13 ουδε γαρ οι περιτεμνομενοι αυτοι νομον φυλασσουσιν αλλα θελουσι
ν υμασ περιτεμνεσθαι ινα εν τη υμετερα σαρκι καυχησωνται

6:14 εμοι δε μη γενοιτο καυχασθαι ει μη εν τω σταυρω του κυριου ημων ι
ησου χριστου δι ου εμοι κοσμοσ εσταυρωται καγω κοσμω

6:15 ουτε γαρ περιτομη τι εστιν ουτε ακροβυστια αλλα καινη κτισισ

6:16 και οσοι τω κανονι τουτω στοιχησουσιν ειρηνη επ αυτουσ και ελεοσ
και επι τον ισραηλ του θεου

6:17 του λοιπου κοπουσ μοι μηδεισ παρεχετω εγω γαρ τα στιγματα του ιη
σου εν τω σωματι μου βασταζω

6:18 η χαρισ του κυριου | [ημων] | ημων | ιησου χριστου μετα του πνευματ
οσ υμων αδελφοι αμην